Ἀριθμ. Πρωτ. 911/2018

Ἱερώτατε Ἀρχιεπίσκοπε Ἑλσιγκίου καί πάσης Φιλλανδίας, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητέ ἀδελφέ καί συλλειτουργέ τῆς ἡμῶν Μετριότητος κύριε Λέων, χάρις εἴη τῇ ὑμετέρᾳ Ἱερότητι καί εἰρήνη παρά Θεοῦ.

Βάσει τῶν ὑπό τῆς ὑμετέρας ἀγαπητῆς Ἱερότητος ὑποβληθέντων τῇ Μητρί Ἐκκλησίᾳ ὅσον ἀφορᾷ εἰς τά δύο πρόσωπα, Ἁγίους Ἰωάννην τοῦ Sonkajanranta (1884-1918) καί Ἰωάννην Βάλαμο (1873-1958), οἱ ὁποῖοι ἔζησαν καί ἔδρασαν ἐν τῇ Ἁγιωτάτῃ Ἐκκλησίᾳ τῆς Φιλλανδίας, ἀποφάσει συνοδικῇ φέρομεν εἰς γνῶσιν ὑμῶν ὅτι ταῦτα συνηριθμήθησαν τοῖς ἁγίοις τῆς Ἐκκλησίας, τῆς μνήμης αὐτῶν ἀγομένης, τοῦ μέν Ἰωάννου τοῦ Sonkajanranta, τῇ η΄ τοῦ μηνός Αὐγούστου ἑκάστου ἔτους, ἡμέρᾳ τοῦ μαρτυρίου αὐτοῦ, τοῦ δέ Ἰωάννου τοῦ Βάλαμο, τῇ ε΄ τοῦ μηνός Ἰουνίου ἑκάστου ἔτους, ἡμέρᾳ τῆς κοιμήσεως αὐτοῦ.

Ἀσμένως γνωρίζοντες τοῦτο τῇ ὑμετέρᾳ Ἱερότητι διά τῶνδε τῶν Πατριαρχικῶν ἀδελφικῶν ἡμῶν Γραμμάτων, συγχαίρομεν ὑμῖν ἀπό καρδίας ἐπί τῇ ἀναγνωρίσει καί ἐκκλησιαστικῶς τῆς ἁγιότητος τῶν ἀνωτέρω καλῶς ἀθλησάντων καί στεφανωθέντων ὁσίων ἀνδρῶν, καί ἀποστέλλομεν ὑμῖν, περικλείστως ὧδε, ἐν ἴσῳ καί ἀπαραλλάκτῳ, τήν ἐν τῷ οἰκείῳ Κώδικι τῆς καθ᾽ ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καταστρωθεῖσαν καί ὑπογραφεῖσαν σχετικήν Πατριαρχικήν ἡμῶν καί Συνοδικήν Πρᾶξιν, πρός ἐπ᾽ ἐκκλησίας, κατά τήν τάξιν, ἀνάγνωσιν καί κατάθεσιν εἶτα ἐν τοῖς Ἀρχείοις τῆς καθ᾽ ὑμᾶς Ἁγιωτάτης Ἐκκλησίας, καί ἐπικαλούμεθα ἐφ᾽ ὑμᾶς τήν χάριν καί τό ἄπειρον ἔλεος τοῦ Θεοῦ.

,βιθ΄ Ἰουνίου κς΄

ὁ Κωνσταντινουπόλεως ἀγαπητός ἐν Χριστῷ ἀδελφός

Ἀριθμ.Πρωτ. 911

Πρᾶξις
κατατάξεως εἰς τό Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας
τῶν Ἁγίων Ἰωάννου τοῦ Sonkajanranta (1884-1918) καί Ἰωάννου τοῦ
Βάλαμο (1873-1958) τῆς Ἁγιωτάτης Ἐκκλησίας τῆς Φιλλανδίας

Τούς ἐν τῷ παρόντι βίῳ σωφρόνως καί δικαίως καί εὐσεβῶς πολιτευσαμένους τε καί διδάξαντας καί μετά τήν ἐντεῦθεν ἀποδημίαν σημείοις καί θαύμασι παρά Θεοῦ μαρτυρηθέντας, ὕμνοις ἐσαεί καί ἐγκωμίοις ἐν πάσῃ εὐλαβείᾳ τιμᾶν καί γεραίρειν οἶδεν ἡ Ἁγία τοῦ Χριστοῦ Ἐκκλησία, καί τήν τούτων πρός τόν πανάγαθον Θεόν ἐπικαλεῖσθαι εὐπρόσδεκτον μεσιτείαν ὑπέρ ἀφέσεως ἁμαρτιῶν καί ἰάσεως τῶν ἀσθενούντων.

Ἐπειδή τοίνυν οὕτως ἐβίωσαν καί οἱ ἀοίδιμοι Ἰωάννης (κατά κόσμον Ivan Vasilinpoika Karhapää), γεννηθείς ἐν Sonkajanranta, καί Ἰωάννης (κατά κόσμον Ivan Aleksejevitš Aleksejev),γεννηθείς ἐν Βάλαμο, ὁσιότητι μέν καί ἁγιότητι βίου διακριθέντες καί τύπον καί ὑπογραμμόν ἀρετῆς καί ἐγκρατείας καί ἀγαθοεργίας ἑαυτούς παραστήσαντες καί ζῶντες δέ καί μετά θάνατον τοῦ χαρίσματος τῆς τῶν θαυμάτων ἐνεργείας παρά Θεοῦ ἀξιωθέντες, ἡ Μετριότης ἡμῶν μετά τῶν περί ἡμᾶς Ἱερωτάτων Μητροπολιτῶν καί ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καί συλλειτουργῶν, ὑπ᾽ ὄψιν λαβόντες τόν ἅγιον βίον τῶν ὁσίων τούτων ἀνδρῶν, περί ὧν δι᾽ ἀναφορᾶς αὐτοῦ πρός τήν Ἐκκλησίαν ὑπέβαλε καί ἐβεβαιώσατο ὁ Ἱερώτατος Ἀρχιεπίσκοπος Ἑλσιγκίου καί πάσης Φιλλανδίας κύριος Λέων, εἰσηγούμενος καί ἐπιστέργων τήν κοινήν ἐπιθυμίαν καί παράκλησιν τῶν εὐσεβῶν χριστιανῶν περί κατατάξεως καί ἐπισήμως τῶν τοσοῦτον ὑπέρ τῆς Ὀρθοδόξου πίστεως μοχθησάντων καί ἐργασαμένων καί τόν μαρτυρικόν θάνατον ὑποστάντων εἰς τήν τῶν Ἁγίων Χορείαν, ἔγνωμεν, τῷ κοινῷ τῆς Ἐκκλησίας ἔθει καί τῇ παραδόσει κατακολουθοῦντες, τήν προσήκουσαν τοῖς θείοις ἀνδράσι καί τούτοις ἀπονεῖμαι τιμήν.

Διό καί θεσπίζομεν Συνοδικῶς καί διοριζόμεθα καί ἐν Ἁγίῳ διακελευόμεθα Πνεύματι ὅπως ἀπό τοῦ νῦν καί εἰς τό ἑξῆς καί εἰς αἰῶνα τόν ἅπαντα οἱ ἀοίδιμοι Ἰωάννης (κατά κόσμον Ivan Vasilinpoika Karhapää), καί Ἰωάννης (κατά κόσμον Ivan Aleksejevitš Aleksejev), συναριθμῶνται τοῖς ὁσίοις καί ἁγίοις τῆς Ἐκκλησίας, τιμώμενοι παρά τῶν πιστῶν καί ὕμνοις ἐγκωμίων γεραιρόμενοι ὁ μέν Ἰωάννης τοῦ Sonkajanranta, τῇ η΄ τοῦ μηνός Αὐγούστου ἑκάστου ἔτους, ἡμέρᾳ τοῦ μαρτυρίου αὐτοῦ, ὁ δέ Ἰωάννης τοῦ Βάλαμο, τῇ ε΄ τοῦ μηνός Ἰουνίου ἑκάστου ἔτους, ἡμέρᾳ τῆς κοιμήσεως αὐτοῦ.

Εἰς ἔνδειξιν δέ τούτου καί βεβαίωσιν ἐγένετο καί ἡ παροῦσα Πατριαρχική ἡμῶν καί Συνοδική Πρᾶξις, καταστρωθεῖσα καί ὑπογραφεῖσα ἐν τῷδε τῷ Ἱερῷ Κώδικι τῆς καθ᾽ ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἴσῳ δέ καί ἀπαραλλάκτῳ ἀποσταλεῖσα τῷ Ἱερωτάτῳ Ἀρχιεπισκόπῳ Ἑλσιγκίου καί πάσης Φιλλανδίας κυρίῳ Λέοντι, πρός κατάθεσιν ἐν τοῖς ἀρχείοις τῆς κατ᾽ αὐτόν Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ,ιη΄, κατά μῆνα Ὀκτώβριον (θ΄ )
Ἐπινεμήσεως ΙΒ΄

+ Ὁ Κωνσταντινουπόλεως Βαρθολομαῖος ἀποφαίνεται

+ ὁ Βρυούλων Παντελεήμων
+ ὁ Γερμανίας Αὐγουστῖνος
+ ὁ Νέας Ἰερσέης Εὐάγγελος
+ ὁ Ρεθύμνης καί Αὐλοποτάμου Εὐγένιος
+ ὁ Σιγκαπούρης Κωνσταντῖνος
+ ὁ Σύμης Χρυσόστομος
+ ὁ Ἰταλίας καί Μελίτης Γεννάδιος
+ ὁ Τρανουπόλεως Γερμανός
+ ὁ Ρόδου Κύριλλος
+ ὁ Κορέας Ἀμβρόσιος
+ ὁ Αὐστρίας Ἀρσένιος
+ ὁ Σικάγου Ναθαναήλ

Ὅτι ἀκριβές ἀντίγραφον
Ἐν τοῖς Πατριαρχείοις, τῇ 26η Ἰουνίου 2019
Ὁ Ἀρχιγραμματεύς τῆς Ἁγίας καί Ἱερᾶς Συνόδου
κ. ἀ. α.

ΓΡΑΦΕΙΟΝ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ